# De uirtutibus et passionibus

## Περὶ ἀρετῶν καὶ παθῶν [ψυχικῶν]

## Ὁ λόγος οὗτος ὠφέλιμος λίαν, καὶ πάσης σοφίας μεστός

392 Ἰστέον ὅτι διπλοῦς ὢν ὁ ἄνθρωπος, ἤγουν ἐκ ψυχῆς συνεστηκὼς καὶ σώματος, διπλᾶς ἔχει καὶ τὰς αἰσθήσεις. Καὶ πέντε μέν εἰσι τῆς ψυχῆς, πέντε δὲ τοῦ σώματος, ἃς καὶ δυνάμεις αὐτῆς οἱ σοφοὶ λέγουσιν. Εἰσὶν αὗται· νοῦς, διάνοια, δόξα, φαντασία, αἴσθησις· αἱ δὲ σωματικαί· ὅρασις, ὄσφρησις, ἀκοή, γεῦσις καὶ ἁφή. Ἔνθεν τοι διπλαῖ τούτων αἱ ἀρεταί, διπλαῖ δὲ καὶ αἱ κακίαι. Ὥστε 393 ἀναγκαιότατόν ἐστιν εἰδέναι σαφῶς πάντα ἄνθρωπον, ποῖαι μέν εἰσι ψυχικαὶ ἀρεταί, ποῖαι δὲ σωματικαὶ [κακίαι]· καὶ ποῖα αὖθις εἰσὶ τὰ ψυχικὰ πάθη, ποῖα δὲ τὰ σωματικά.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%). Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.